## δακτυλικὸν ἑφθημιμερές / dactylicum hephthemimeres

Hephaest. 22. 1 sqq. τῶν δὲ (*scil.* δακτυλικῶν) εἰς συλλαβὴν τῷ μὲν πενθημιμερεῖ [πρὸς δύο ποσὶν οὐσῶν τῶν συλλαβῶν] Ἀρχίλοχος κέχρηται ἐν ἐπωδῷ· (fr. 182. 2 West)

ἐν δὲ Βατουσιάδης,

τῷ δὲ ἑφθημιμερεῖ Ἀλκμάν· (fr. 119 [PMG 119] Page)

ταῦτα μὲν ὡς ἂν ὁ δῆμος ἅπας.

Trich. 376. 6 sqq. τετράμετρον δὲ (*scil.* δακτυλικόν) καταληκτικὸν μὲν εἰς συλλαβήν·

υἱέα παμμεδέοντα λόγον.

καὶ τοῦτο ἐπισημότατόν ἐστιν ἑφθημιμερὲς καλούμενον, ὅτι ἐκ τριῶν ἥμισυ ποδῶν σύγκειται, οἵ εἰσιν ἥμισυ τοῦ ἑπτά· ὡς καὶ τὸ πενθημιμερές, παρόσον ἐκ δύο ἥμισυ. τοῦτο δὲ τὸ ἑφθημιμερὲς ἀλκμανικὸν καλεῖται, ὅτι πολλαχοῦ κατακόρως Ἀλκμὰν τούτῳ κέχρηται. τετράμετρον οὖν καταληκτικὸν εἰς συλλαβήν ἐστι τὸ ῥηθὲν ἑφθημιμερές.

Tzetz. *de metr. Pind.* 39. 14 sqq.

τρισκαίδεκα τὸ ἐπῳδὸν (*scil.* τῆς πρώτης Ὀλυμπιακῆς) ἔχει τὰ κῶλα πάντα.
τὸ πρῶτον παίων δεύτερος, πρὸς δὲ ἰαμβικόν τε
πλὴν πενθημιμερές, εὕρηται δακτυλικόν γαρ.
λέγονται πενθημιμερῆ καὶ ἑφθημιμερῆ δε
ἰαμβικά, δακτυλικὰ καὶ δὴ τροχαϊκά τε,
ὅτε δυοκαιήμισυ ὑπάρχουσιν οἱ πόδες,
ἢ πρὸς ἡμίσει καὶ τρισὶ ποσὶ καταριθμεῖται
τὸ κῶλον δὴ τὸ οἱονοῦν, τόθ᾽ ἑφθημιμερές γαρ.
τῶν πέντε γὰρ τὸ ἥμισυ δυοκαιήμισύ τε,
καὶ τῶν ἑπτὰ τὸ ἥμισυ, ἥμισύ τε καὶ τρία.

Tzetz. *de metr. Pind.* 93. 1 sqq.

Τὸ πέμπτον δ᾽ ἑφθημιμερὲς δακτυλικὸν ὑπάρχει·
[δάκτυλος καὶ σπονδεῖοι γὰρ καὶ συλλαβή, καὶ σκόπει.

| δάκτυλος | σπονδεῖοι | συλλαβή |
|---|---|---|
| – ⏑ ⏑ | – – – – | –]. |

Schol. vet. in Pind. *Ol.* 9 (p. 8. 20 Tessier) τὸ ε´ δακτυλικὸν ἑφθημιμερές.

Schol. rec. in Pind. *Ol.* 9 (p. 311. 19 Abel) τὸ ε´ δακτυλικὸν ἑφθημιμερές.

Schol. vet. in Pind. *Pyth.* 4 (p. 17. 7 Tessier) τὸ ια´ δακτυλικὸν ἑφθημιμερές.

Schol. vet. in Pind. *Pyth.* 11 (p. 21. 5 Tessier) τὸ ς´ ἑφθημιμερὲς δακτυλικόν.

Schol. vet. in Pind. *Nem.* 1 (p. 22. 8 Tessier) τὸ β´ ἑφθημιμερὲς δακτυλικόν.

Schol. vet. in Pind. *Nem.* 11 (p. 28. 8 sq. Tessier) τὸ θ´ σύνθετον ἐκ πενθημιμεροῦς τροχαίου καὶ ἑφθημιμεροῦς δακτυλικοῦ.

Schol. vet. in Pind. *Isthm.* 3 (p. 29. 16 Tessier) τὸ η´ ἑφθημιμερὲς δακτυλικόν.

Schol. vet. in Pind. *Isthm.* 6 (p. 30. 18 Tessier) τὸ δ´ δακτυλικὸν ἑφθημιμερές.

Schol. rec. in Pind. *Pyth.* 4 (p. 169. 34 Irigoin) τὸ ια´ δακτυλικὸν ἑφθημιμερές.

Schol. in Aesch. *Pers.* 568 (p. 52. 11 sq. Massa Positano) ἡμέτερα + τὸ α´ δακτυλικὸν ἑφθημιμερὲς καθαρόν.

Schol. in Aesch. *Pers.* 672 (p. 57. 12 sq. Massa Positano) ἡμέτερον + ... τὸ β΄ δακτυλικὸν ἑφθημιμερές.

Schol. in Aesch. *Pers.* 672 (p. 57. 19 sq. Massa Positano) τὸ ς΄ δακτυλικὸν ἢ ἀναπαιστικὸν πενθημιμερές· τὸ ζ΄ ὅμοιον ἑφθημιμερές.

Schol. in Aesch. *Prom.* 425 (p. 34 Smyth) + τὸ ια΄ δακτυλικὸν ἑφθημιμερές.

Schol. in Aesch. *Prom.* 545 (p. 43 Smyth) ἡμέτερον + τὸ η΄ δακτυλικὸν ἑφθημιμερές.

Schol. Byz. in Soph. *Oed. tyr.* 151 (p. 269. 14 Longo) τὸ β΄ δακτυλικὸν ὅμοιον ἑφθημιμερές.

Schol. Byz. in Soph. *Oed. tyr.* 160 (p. 270. 3 sq. Longo) τὸ ιζ΄ δακτυλικὸν ἑφθημιμερές.

Schol. Byz. in Soph. *Oed. tyr.* 165 (p. 270. 10 Longo) τὸ κγ΄ ὅμοιον δακτυλικὸν ἑφθημιμερές.

Schol. Byz. in Soph. *Oed. tyr.* 180 (p. 271. 4 sq. Longo) τὸ μα΄ δακτυλικὸν ἑφθημιμερὲς ὅμοιον τῷ β΄.

Schol. in Aristoph. *av.* 737b. 10 (p. 116 Holwerda) Tr τὸ ιγ΄ δακτυλικὸν ἑφθημιμερές.

Schol. in Aristoph. *av.* 873a. 2 (p. 138 Holwerda) Tr τὸ β΄ δακτυλικὸν πενθημιμερές ... τὸ γ΄ ὅμοιον ἑφθημιμερές.

Schol. in Aristoph. *av.* 881a. 5 (p. 140 Holwerda) Tr τὸ ς΄ ὅμοιον δακτυλικὸν ἑφθημιμερές.

Schol. in Aristoph. *av.* 1058d. 2 sqq. (p. 163 Holwerda) Tr ἔστι γοῦν ἡ στροφὴ καὶ ᾠδὴ κώλων καὶ στίχων δακτυλικῶν καὶ παιωνικῶν ιδ΄. τὸ α΄ δακτυλικὸν ἐκ σπονδείων ἑφθημιμερές ... 5 sq. τὸ ε΄, τὸ ς΄ καὶ τὸ ζ΄ ὅμοια τῷ α΄.

Schol. rec. in Aristoph. *nub.* 457a. 16 sqq. (p. 74 Koster) Tr$^1$ τὸ ιε′ (v. 469) ‘βουλομένους ἀνακοινοῦσθαι’ δακτυλικὸν τρίμετρον ὑπερκατάληκτον ἤτοι ἑφθημιμερές … τὸ κ΄ (v. 475) ‘συμβουλευσομένους μετὰ σοῦ’ δακτυλικὸν ὅμοιον τῷ ιε′ ἤτοι ἑφθημιμερές.

Schol. rec. anon. in Aristoph. *nub.* 457a. 2 (p. 294 Koster) τὸ γ′ δακτυλικὸν δίμετρον καταληκτικόν … 10 sq. τὸ ιε′ δακτυλικὸν δίμετρον καταληκτικόν, ὃ καὶ ἑφθημιμερὲς καὶ ἀλκμάνειον καλεῖται.

Schol. rec. in Aristoph. *nub.* 457b. 1 sqq. (p. 74 Koster) Tr$^2$ λῆμα μὲν πάρεστι τῷδε] ἐπέκθεσις τῆς διπλῆς ἑτέρα ἀμοιβαία ἐκ κώλων κ′, ὧν … τὸ ιε′ δακτυλικὸν ἑφθημιμερές, ὃ ἀλκμάνειον καλεῖται.

Schol. vet. in Aristoph. *nub.* 563a (p. 127. 16 Holwerda) τὸ ια΄ δακτυλικὸν ἐφθημιμερές.

Schol. Ald. in Aristoph. *nub.* 563a (p. 271. 19 sqq. Koster) τὸ δέκατον ὅμοιον ἐκ δισπονδείου καὶ χοριάμβου ἢ δακτυλικὸν ἑφθημιμερὲς τῆς ‘σι’ ἀντὶ μακρᾶς λογιζομένης.

Schol. rec. anon. in Aristoph. *nub.* 563a. 7 sq. (p. 315 Koster) τὸ ια′ δακτυλικὸν ἑφθημιμερὲς ἤγουν ἐκ β′ σπονδείων, δακτύλου καὶ συλλαβῆς.

Schol. rec. in Aristoph. *nub.* 563c. 9 sqq. (p. 89 Koster) Tr$^1$ τὸ ζ΄ (v. 569) ‘καὶ μεγαλώνυμον ἡμέτερον’ δακτυλικὸν ἑφθημιμερὲς ***.

SCHOL. REC. in Aristoph. *ran.* 814-829c. 2 sqq. (p. 146 Chantry) τὰ κῶλα δ᾿ ἑκάστης περιόδου εἰσὶν ἑπτὰ ἰσόμετρα. trLv(Ald) <ὧν LvMt> τὸ α′ δακτυλικὸν ἑφθημιμερές, ᾧ καὶ Ἀλκμὰν ἐχρήσατο … τὸ γ′ ὅμοιον τῷ α′.

SCHOL. REC. in Aristoph. *ran.* 1273-1277. 1 sq. (p. 211 Chantry) (cum 1268-1272 coniunctum) τῆς δὲ ἑξῆς ᾠδῆς τὰ κῶλα ἕξ. τὸ α′ δακτυλικὸν ἑφθημιμερές.

SCHOL. A in Hephaest. 128. 17 sqq. δακτυλικὸν τετράμετρον καταληκτικὸν εἰς συλλαβὴν τὸ καλούμενον ἑφθημιμερές, ᾧ ἐχρήσατο Ἀλκμάν, ποδῶν τριῶν καὶ συλλαβῆς μιᾶς.

SCHOL. B in Hephaest. 273. 1 sqq. τετράμετρον δέ (*scil.* δακτυλικόν), καταληκτικὸν μὲν εἰς συλλαβήν, τὸ καὶ ἑφθημιμερές, ᾧ Ἀλκμὰν κέχρηται· (fr. 119 [PMG 119] Page)

ταῦτα μὲν ὡς ἂν ὁ δῆμος ἅπας.

SCHOL. B in Hephaest. 278. 14 sqq. ὡσαύτως καὶ τὸ δακτυλικὸν τετράμετρον καταληκτικὸν εἰς συλλαβήν, τὸ καὶ ἑφθημιμερές, ποδῶν ὑπάρχον τριῶν ἥμισυ, φανερὸν ὅτι ἑπτὰ μέρη ἥμισυ ἔχει.

PLANVD. in Boeth. *cons.* 133 (p. 110 Papathomopoulos) τὸ ὀκτωκαιδέκατον εἶδός ἐστι δακτυλικὸν ἑφθημιμερές, εἴτ᾿ οὖν τρίμετρον ὑπερκατάληκτον, ὃ καλεῖται ἀλκμανικόν, ᾧ ὑπέταξεν ἀντισπαστικὸν ἑφθημιμερὲς φερεκράτειον, περὶ οὗ εἴρηται ἐν τῷ ἐνάτῳ· ἐχρήσατο δὲ τούτῳ ἅπαξ ἐνταῦθα.

TER. MAVR. GL VI 384. 1975 sqq.

Septimius, docuit quo ruris opuscula libro,
hoc genere adsidue cecinit;
ponere pauca mihi sat erit:

(fr. 10 [FPL 355] Blänsdorf)

‘inquit amicus ager domino:
«si bene mi facias, memini»’;

(fr. 11 [FPL 356] Blänsdorf)

‘pinea brachia cum trepidant,
audio canticulum zephyri’.
sic hephthemimeres servavit carmine utroque:
hexametros facies ipsos, si cetera reddas:
‘inquit amicus ager domino, sere, plurima reddam’,
‘si bene mi facias, memini tibi solvere grates’,
‘pinea brachia cum trepidant stridentia flabris’,
‘audio canticulum zephyri modulante susurro’.

APTHON. GL VI 65. 17 sqq. nam si harum (*scil.* tomarum principalium heroici versus) neutram inveneris, tertium trochaeum in versu conquires, id est penthemimeren disyllabo clausam, ut est ‘infandum regina’. nam percussis duobus pedibus tertius pes trochaeus est, ‘gina’, cui coniuncta brevis ‘iu’ secundum legem versus hexametri dactylum complet. ‘bes’ autem syllaba et sensum superioris coli integrat, ut fiat hephthemimeres, et sequentis pedis initium inducit. [*S.D.B.*]